# ΚΑΝΟΝΑ ΠΙΣΤΕΩΣ - MODEL OF FAITH



**GREEK ORTHODOX ARCHDIOCESE OF AUSTRALIA**
**PARISH OF SAINT NICHOLAS MARRICKVILLE**
Priest: Fr Michael Tsolakis 0418 883 107 | 9558 4453
www.stnicholas.com.au | FaceBook: Parish St Nicholas Marrickville

## Κυριακή 4 Φεβρουαρίου 2024
## Κυριακή ΙΕ' ' Ματθαῖου
## Κυριακή μετὰ τὴν Ἑορτήν

**Ἀπολυτίκιον Ἀναστάσιμον Ἦχος β'**

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

**Ἀπολυτίκιον τῆς Ἑορτῆς.**

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενοςἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

**Ἀπολυτίκιον. Τοῦ Ἁγίου Νικολάου.**

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ ἱεράρχα **Νικόλαε**· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον. Κοσμά και Δαμιανού**

Ἅγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

**. Ἀπολυτίκιον Τοῦ Ἁγίου Παΐσιου**
**Τόν συνάναρχον Λόγον**

Αὐστραλίας προστάτην, φρουρόν τε ἄγρυπνον, καί τοῦ Ἄθωνος ὄρους στύλον ἀείφωτον, ἀνυμνήσωμεν πιστοί, θεῖον **Παΐσιον**, ἐξαιτούμενοι αὐτοῦ τάς πρεσβείας πρός Θεόν, κραυγάζοντες ὁμοφρόνως· ῥύου ὦ πάτερ παντοίων, τῶν τοξευμάτων τοῦ ἀλάστορος.

## Sunday 4 February 2024
## 15th Sunday of Matthew
## Sunday after the Feast

**Resurrectional Apolytikion**

**W**hen you descended to death, O immortal life, you struck Hades dead by the flash of your Divinity; when you raised the dead from under the earth, all the Powers of heaven cried out: Giver of life, Christ our God, glory to you.

**Apolytikion of the Feast.**

Lady full of grace, rejoice, O Virgin Theotokos, for Christ our God, the Sun of righteousness has risen from you and He illumined those in darkness. And you, righteous Elder, be glad in heart, receiving in your embraces the One who liberates our souls and bestows on us the Resurrection.

**St Nicholas Hymn**

A model of faith and the image of gentleness, the example of your life has shown you forth to your sheep-fold to be a master of temperance. You obtained thus through being lowly, gifts from on high, and riches through poverty, **Nicholas**, our father and priest of priests, intercede with Christ our God that He may save our soul.

**Sts Cosmas & Damianos**

Sainted Unmercenaries and Wonder Workers, regard our infirmities; freely you have received, freely share with us.

**St Paisios Hymn**
**The Word Eternal**

O Protector of Australia, vigilant guardian and resplendent pillar of Mount Athos, we the faithful let us praise the holy **Paisios**, and beseeching his intercessions before God, crying out with one voice, deliver us, O father of all, from the arrows of the vengeful one.

**Κοντάκιον.**

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳσου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡςἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶςΧριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοιςτὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓςἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

## ΑΠΟΣΤΟΛΟΣ

## Πρὸς Κορινθίους Β’ Ἐπιστολῆς Παύλου (στ΄, 1-10)

Ἀδελφοί, συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς - λέγει γάρ, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἰδού, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδού, νῦν ἡμέρα σωτηρίας - μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ’ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνῄσκοντες, καὶ ἰδού, ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

**Kontakion.**

You sanctified the virginal womb by Your birth, O Lord, and blessed the hands of Symeon fittingly, O Christ God; and even now You came and saved us. Now, give peace to our Nation in time of war, and empower our Leaders, so loved by You, the only one who loves humanity.

## EPISTLE

## Paul's 2nd Letter to the Corinthians (6:1-10)

Brethren, working together with him, we entreat you not to accept the grace of God in vain. For he says, "At the acceptable time I have listened to you, and helped you on the day of salvation." Behold, now is the acceptable time; behold, now is the day of salvation. We put no obstacle in any one's way, so that no fault may be found with our ministry, but as servants of God we commend ourselves in every way: through great endurance, in afflictions, hardships, calamities, beatings, imprisonments, tumults, labors, watching, hunger; by purity, knowledge, forbearance, kindness, the Holy Spirit, genuine love, truthful speech, and the power of God; with the weapons of righteousness for the right hand and for the left; in honor and dishonor, in ill repute and good repute. We are treated as impostors, and yet are true; as unknown, and yet well known; as dying, and behold we live; as punished, and yet not killed; as sorrowful, yet always rejoicing; as poor, yet making many rich; as having nothing, and yet possessing everything.

**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου (κκ́ , 35-46)**

Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτόν καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ· Τοῦ Δαυΐδ. λέγει αὐτοῖς· Πῶς οὖν Δαυΐδ ἐν Πνεύματι Κύριον καλεῖ αὐτὸν λέγων, εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

**Holy Gospel according to Matthew (25: 14-30)**

At that time, a lawyer came up to Jesus and asked him a question, to test him. "Teacher, which is the great commandment in the law?" And he said to him, "You shall love the Lord your God with all your heart, and with all your soul, and with all your mind. This is the great and first commandment. And a second is like it, You shall love your neighbor as yourself. On these two commandments depend all the law and the prophets."

Now while the Pharisees were gathered together, Jesus asked them a question, saying, "What do you think of the Christ? Whose son is he?" They said to him, "The son of David." He said to them, "How is it then that David, inspired by the Spirit, calls him Lord, saying, 'The Lord said to my Lord, Sit at my right hand, till I put your enemies under your feet'? If David thus calls him Lord, how is he his son?" And no one was able to answer him a word, nor from that day did anyone dare to ask him any more questions.

## Συναξάριον
## Τοῦ Μηναίου.

Τῇ Δ′ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου Ὁμολογητοῦ, τοῦ Στουδίτου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀβραμίου, Ἐπισκόπου Ἀβρὴλ τῆς Περσίδος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐν Εἰρηνοπόλει, ἑνὸς τῶν τριακοσίων δεκαοκτῷ Ἁγίων Πατέρων, τῶν ἐν Νικάιᾳ· καὶ μνήμη τοῦ Ἁγίου Μάρτυρος Θεοκτίστου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος καὶ Θαυματουργὸς Ἰάσιμος ἐν εἰρήνῃ τελειοῦται.

Ὁ Ἅγιος Νεομάρτυς Ἰωσὴφ ὁ Χαλεπλῆς, ὁ μαρτυρήσας ἐν ἔτει ᾳχπς′ (1686), ξίφει τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

## 2 Φεβρουαρίου 2024
## Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου

**Τῇ Β′ τοῦ αὐτοῦ μηνός**, ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζεται, ἐνῇ ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὑτοῦ ὁδίκαιος Συμεών.

Αὐτῷ τῷ Θεῷ ἡ δόξα καὶ τὸ κράτος εἰςτοὺς αἰῶνας. Ἀμήν.

## Synaxarion
## From the Menaion.

On February 4 we commemorate our devout father Isidore of Pelusium.

On this day we also commemorate our devout father Nicholas the confessor and Studite.

On this we also commemorate the holy priest-martyr Abramius, bishop pf Arbeil in Persia.

On this day we also commemorate our devout father John of Irenopolis, one of the three hundred eighteen Holy Fathers who were in Nicea and the holy martyr Theoktistos.

On this day the devout and wonderworker Jasimus reposed in peace.

The holy new martyr Joseph of Aleppo who witnessed in the year 1686 died by the sword.

By the intercessions of Your Saints, O God, have mercy on us. Amen.

## 2 February 2024
## The Presentation of our Lord

**On February 2** we celebrated the Feast of the Meeting of our Lord Jesus Christ, when the righteous Symeon received Him in his embraces. A great feast of the Church, the presentation of the infant Jesus Christ, forty days after His birth, in the temple. The Theotokos and St Joseph bring the young Saviour there in compliance with the Old Testament law.

By the inspiration of the Holy Spirit, the old Symeon proclaims that this Child is the salvation "of all peoples, a light to enlighten the Gentiles and the glory of Your people Israel." The aged prophetess Anna also recognises Him as the fulfillment of God's promises.

To God be the glory and the dominion to the ages. Amen.